κας πάντων τούτων ἐπιστήμονας, κόρας μὲν οὔσας ἔτι
πᾶσαν τὴν ἐν ὅπλοις ὄρχησιν καὶ μάχην μεμελετηκυίας,
γυναῖκας δέ, διεξόδων καὶ τάξεων καὶ θέσεως καὶ ἀναιρέ- 814 a
σεως ὅπλων ἡμμένας, εἰ μηδενὸς ἕνεκα, ἀλλ' εἴ ποτε δεήσειε
πανδημεὶ [πάσῃ τῇ δυνάμει] καταλείποντας τὴν πόλιν ἔξω
στρατεύεσθαι, τοὺς φυλάξαντας παῖδάς τε καὶ τὴν ἄλλην
πόλιν ἱκανοὺς εἶναι τό γε τοσοῦτον, ἢ καὶ τοὐναντίον, ὧν
οὐδὲν ἀπώμοτον, ἔξωθεν πολεμίους εἰσπεσόντας ῥώμῃ τινὶ
μεγάλῃ καὶ βίᾳ, βαρβάρους εἴτε Ἕλληνας, ἀνάγκην παρα-
σχεῖν περὶ αὐτῆς τῆς πόλεως τὴν διαμάχην γίγνεσθαι,
πολλή που κακία πολιτείας οὕτως αἰσχρῶς τὰς γυναῖκας b
εἶναι τεθραμμένας, ὡς μηδ' ὥσπερ ὄρνιθας περὶ τέκνων
μαχομένας πρὸς ὁτιοῦν τῶν ἰσχυροτάτων θηρίων ἐθέλειν
ἀποθνῄσκειν τε καὶ πάντας κινδύνους κινδυνεύειν, ἀλλ'
εὐθὺς πρὸς ἱερὰ φερομένας, πάντας βωμούς τε καὶ ναοὺς
ἐμπιμπλάναι, καὶ δόξαν τοῦ τῶν ἀνθρώπων γένους κατα-
χεῖν ὡς πάντων δειλότατον φύσει θηρίων ἐστίν.

ΚΛ. Οὐ μὰ τὸν Δία, ὦ ξένε, οὐδαμῶς εὔσχημον γίγνοιτ'
ἄν, τοῦ κακοῦ χωρίς, τοῦτο ἐν πόλει ὅπου γίγνοιτο. c

ΑΘ. Οὐκοῦν τιθῶμεν τὸν νόμον τοῦτον, μέχρι γε τοσού-
του μὴ ἀμελεῖσθαι τὰ περὶ τὸν πόλεμον γυναιξὶν δεῖν,
ἐπιμελεῖσθαι δὲ πάντας τοὺς πολίτας καὶ τὰς πολίτιδας;

ΚΛ. Ἐγὼ γοῦν συγχωρῶ.

ΑΘ. Πάλης τοίνυν τὰ μὲν εἴπομεν, ὃ δ' ἐστὶ μέγιστον,
ὡς ἐγὼ φαίην ἄν, οὐκ εἰρήκαμεν, οὐδ' ἔστι ῥᾴδιον ἄνευ τοῦ
τῷ σώματι δεικνύντα ἅμα καὶ τῷ λόγῳ φράζειν. Τοῦτ' οὖν
τότε κρινοῦμεν, ὅταν ἔργῳ λόγος ἀκολουθήσας μηνύσῃ τι d